ἡ ΑΒ. ἔστω αὐτῇ προσαρμόζουσα ἡ ΒΕ· αἱ ΑΕ, ΕΒ ἄρα
ῥηταί εἰσι δυνάμει μόνον σύμμετροι. καὶ τῷ τῆς ΑΒ
πρὸς τὴν ΓΔ λόγῳ ὁ αὐτὸς γεγονέτω ὁ τῆς ΒΕ πρὸς
τὴν ΖΔ· καὶ ὡς ἓν πρὸς ἕν, πάντα ἐστὶ πρὸς
πάντα· ἔστιν ἄρα καὶ ὡς ὅλη ἡ ΑΕ πρὸς ὅλην τὴν
ΓΖ, οὕτως ἡ ΑΒ πρὸς τὴν ΓΔ. σύμμετρος δὲ ἡ ΑΒ
τῇ ΓΔ μήκει· σύμμετρος ἄρα καὶ ἡ ΑΕ μὲν τῇ ΓΖ,
ἡ ΒΕ δὲ τῇ ΖΔ. αἱ δὲ ΑΕ, ΕΒ ῥηταί εἰσι δυνάμει μό- ρϛ
νον σύμμετροι· καὶ αἱ ΓΖ, ΖΔ ἄρα ῥηταί εἰσι δυνάμει
μόνον σύμμετροι· ἀποτομὴ ἄρα ἐστὶν ἡ ΓΔ. λέγω δὴ
ὅτι καὶ τῇ τάξει ἡ αὐτὴ τῇ ΑΒ. ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΑΕ
πρὸς τὴν ΓΖ, οὕτως ἡ ΒΕ πρὸς τὴν ΖΔ· ἐναλλὰξ ἄρα
ἐστὶν ὡς ἡ ΑΕ πρὸς τὴν ΕΒ, οὕτως ἡ ΓΖ πρὸς τὴν ΖΔ.
ἤτοι δὲ ἡ ΑΕ τῆς ΕΒ μεῖζον δύναται τῷ ἀπὸ συμμέ-
τρου ἑαυτῇ, ἢ τῷ ἀπὸ ἀσυμμέτρου. εἰ μὲν οὖν ἡ ΑΕ τῆς
ΕΒ μεῖζον δύναται τῷ ἀπὸ συμμέτρου ἑαυ-
τῇ, καὶ ἡ ΓΖ τῆς ΖΔ μεῖζον δυνήσεται τῷ ἀπὸ συμμέ-
τρου ἑαυτῇ. καὶ εἰ μὲν σύμμετρός ἐστιν ἡ ΑΕ τῇ ἐκκει-
μένῃ ῥητῇ μήκει, καὶ ἡ ΓΖ· εἰ δὲ ἡ ΕΒ, καὶ ἡ ΔΖ· εἰ δὲ
οὐδετέρα τῶν ΑΕ, ΕΒ, καὶ οὐδετέρα τῶν ΓΖ, ΖΔ. εἰ δὲ
ἡ ΑΕ τῆς ΕΒ μεῖζον δύναται τῷ ἀπὸ ἀσυμμέτρου ἑ-
αυτῇ, καὶ ἡ ΓΖ τῆς ΖΔ μεῖζον δυνήσεται τῷ ἀπὸ ἀ-
συμμέτρου ἑαυτῇ. καὶ εἰ μὲν σύμμετρός ἐστιν ἡ ΑΕ τῇ
ἐκκειμένῃ ῥητῇ μήκει, καὶ ἡ ΓΖ· εἰ δὲ ἡ ΒΕ, καὶ ἡ
ΔΖ· εἰ δὲ οὐδετέρα τῶν ΑΕ, ΕΒ, οὐδετέρα
τῶν ΓΖ, ΖΔ. ἀποτομὴ ἄρα ἐστὶν ἡ ΓΔ καὶ τῇ τάξει



ἡ αὐτὴ
τῇ ΑΒ :~

ρζ Ἡ τῇ μέσῃ
ἀποτομῇ
σύμμετρος
μέση ἀποτομή ἐστι καὶ τῇ τάξει ἡ αὐτή· ἔστω μέση ἀποτο-
μὴ ἡ ΑΒ. καὶ τῇ ΑΒ σύμμετρος (μήκει) ἔστω ἡ ΓΔ. λέγω ὅτι καὶ ἡ
ΓΔ μέση ἀποτομή ἐστι καὶ τῇ τάξει ἡ αὐτὴ τῇ ΑΒ. ἐπεὶ
γὰρ μέση ἀποτομή ἐστιν ἡ ΑΒ, ἔστω αὐτῇ προσαρμό-
ζουσα ἡ ΕΒ· αἱ ΑΕ, ΕΒ ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμ-
μετροι. καὶ γεγονέτω ὡς ἡ ΑΒ πρὸς τὴν ΓΔ, οὕτως ἡ
ΒΕ πρὸς τὴν ΔΖ· σύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΑΕ μὲν τῇ
ΓΖ, ἡ δὲ ΒΕ τῇ ΔΖ. αἱ δὲ ΑΕ, ΕΒ μέσαι εἰσὶ δυνάμει μόνον
σύμμετροι· μέση ἄρα ἀποτομή ἐστιν ἡ ΓΔ. λέγω δὴ
ὅτι καὶ τῇ τάξει ἡ αὐτὴ τῇ ΑΒ. ἐπεὶ γάρ ἐστιν ὡς ἡ ΑΕ
πρὸς τὴν ΕΒ, οὕτως ἡ ΓΖ πρὸς τὴν ΖΔ· ἀλλ' ὡς μὲν ἡ ΑΕ
πρὸς τὴν ΕΒ, οὕτως τὸ ἀπὸ τῆς ΑΕ πρὸς τὸ ὑπὸ τῶν ΑΕ,
ΕΒ· ὡς δὲ ἡ ΓΖ πρὸς τὴν ΖΔ, οὕτως τὸ ἀπὸ τῆς ΓΖ
πρὸς τὸ ὑπὸ τῶν ΓΖ, ΖΔ· ἔστιν ἄρα καὶ ὡς τὸ ἀπὸ τῆς ΑΕ
πρὸς τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ, οὕτως τὸ ἀπὸ τῆς ΓΖ πρὸς τὸ
ὑπὸ τῶν ΓΖ, ΖΔ· καὶ ἐναλλὰξ ὡς τὸ ἀπὸ τῆς ΑΕ πρὸς τὸ
ἀπὸ τῆς ΓΖ, οὕτως τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ πρὸς τὸ ὑπὸ
τῶν ΓΖ, ΖΔ. σύμμετρον δὲ τὸ ἀπὸ τῆς ΑΕ τῷ ἀπὸ
τῆς ΓΖ· σύμμετρον ἄρα ἐστὶ καὶ τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ τῷ
ὑπὸ τῶν ΓΖ, ΖΔ. εἴτε οὖν ῥητόν ἐστι τὸ ὑπὸ τῶν ΑΕ, ΕΒ,
ῥητόν ἐστι καὶ τὸ ὑπὸ τῶν ΓΖ, ΖΔ· εἴτε μέσον ἐστὶ τὸ ὑπὸ

καὶ αἱ ΓΖ, ΖΔ ἄρα μέσαι εἰσὶ δυνάμει μόνον σύμμετροι.

BIBLIOTHECA BODLEIANA